# 154. THE QUESTION ABOUT THE GREAT COMMANDMENT (Matt-Mk Identical)

| Matt 22:34-40 | Mark 12:28-34 |
|---|---|
| | *Καὶ προσελθὼν* |
| *Οἱ δὲ Φαρισαῖοι* | *εἷς τῶν γραμματέων* |
| *ἀκούσαντες ὅτι* | *ἀκούσας αὐτῶν συζητούντων,* |
| *ἐφίμωσεν τοὺς Σαδδουκαίους* | |
| *συνήχθησαν ἐπὶ τὸ αὐτό.* | |
| | *ἰδὼν ὅτι καλῶς ἀπεκρίθη αὐτοῖς,* |
| *35 καὶ ἐπηρώτησεν* | *ἐπηρώτησεν αὐτόν,* |
| *εἷς ἐξ αὐτῶν νομικὸς* | |
| *πειράζων αὐτόν,* | |
| *36 Διδάσκαλε, ποία ἐντολὴ* | *Ποία ἐστὶν ἐντολὴ* |
| *μεγάλη ἐν τῷ νόμῳ* | *πρώτη πάντων* |
| *37 ὁ δὲ ἔφη αὐτῷ,* | *29 ἀπεκρίθη ὁ Ἰησοῦς ὅτι* |
| | *Πρώτη ἐστίν, Ἄκουε, Ἰσραήλ, κύριος ὁ θεὸς ἡμῶν κύριος εἷς ἐστιν,* |
| *Ἀγαπήσεις κύριον* | *30 καὶ ἀγαπήσεις κύριον* |
| *τὸν θεόν σου* | *τὸν θεόν σου* |
| *ἐν ὅλῃ τῇ καρδίᾳ σου* | *ἐξ ὅλης τῆς καρδίας σου* |
| *καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου* | *καὶ ἐξ ὅλης τῆς ψυχῆς σου* |
| *καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου·* | *καὶ ἐξ ὅλης τῆς διανοίας σου* |
| | *καὶ ἐξ ὅλης τῆς ἰσχύος σου.* |
| *38 αὕτη ἐστὶν ἡ μεγάλη καὶ πρώτη ἐντολή.* | |
| *39 δευτέρα δὲ ὁμοία αὐτῇ,* | *31 δευτέρα αὕτη,* |
| *Ἀγαπήσεις* | *Ἀγαπήσεις* |
| *τὸν πλησίον σου ὡς σεαυτόν.* | *τὸν πλησίον σου ὡς σεαυτόν.* |
| *40 ἐν ταύταις ταῖς δυσὶν* | *μείζων τούτων* |
| *ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται καὶ οἱ προφῆται* | *ἄλλη ἐντολὴ οὐκ ἔστιν.* |
| | *32 καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς,* |
| | *Καλῶς, διδάσκαλε,* |
| | *ἐπ ἀληθείας εἶπες* |
| | *ὅτι εἷς ἐστιν καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ·* |
| | *33 καὶ τὸ ἀγαπᾶν αὐτὸν* |
| | *ἐξ ὅλης τῆς καρδίας* |
| | *καὶ ἐξ ὅλης τῆς συνέσεως* |
| | *καὶ ἐξ ὅλης τῆς ἰσχύος* |
| | *καὶ τὸ ἀγαπᾶν* |
| | *τὸν πλησίον ὡς ἑαυτὸν* |

*περισσότερόν ἐστιν πάντων τῶν ὁλοκαυτωμάτων καὶ θυσιῶν.*

*34 καὶ ὁ Ἰησοῦς ἰδὼν αὐτὸν ὅτι νουνεχῶς ἀπεκρίθη εἶπεν αὐτῷ, Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ.*

*καὶ οὐδεὶς οὐκέτι ἐτόλμα*

*αὐτὸν ἐπερωτῆσαι.*

44 words out of 233 words = 19%